## Γλωσσάριο
(κατά τον Κωνσταντίνο Ι. Μυριανθόπουλο)

αρζουχάλην: αίτηση, αναφορά
ασκέριν: στρατός
άσπρο: το νόμισμα
άρζε: αίτηση, αναφορά
βαλής: κυβερνήτης
βούλλα: σφραγίδα
γιούφτης: ευτελής, χυδαίος, γύφτος
γηνάτιν: ισχυρογνωμοσύνη, πείσμα
δουλαππιν: ξύλινον εργαλείον πάνω στο οποίο τυλίσσεται το νήμα, μετάξι κ.ά.
εξέβην: βγήκε
εμόρανεν: ετρέλλανε
επεέντησεν: έλαβε υπόψη, υπολόγισε
εγιομακλάτισαν: εξέτασαν, ερεύνησαν, επιθεώρησαν, ήλεγξαν
εκέλευσεν: εκάλεσε
ζάπτην: συγκράτηση, καθυπόταξη
ζορπάς: ταραξίας
ζαπίτης: υποδιοικητής, αστυνόμος
ζαλούμια: πίεση, τυραννία, αδικία, καταδυνάστευση
ντλάκκιν: αθώωση, απελευθέρωση, απόλυση
καρήδια: κουκκούλια του μεταξοσκώληκα
καβάδιν ή καφτάνιν: πολύτιμος μανδύας, τα ράσα των κληρικών
κιαγιάς: επιστάτης
καπού Κκεχαγιάς: επίτροπος, αντιπρόσωπος, επιτετραμμένος στην Υψηλή Πύλη
κερεμέν: πρόστιμο
λουμπαρή: πόρτα πλοίου
μεγκεμέν: δικαστήριο ενώπιον του οποίου προάγονται όλες οι υποθέσεις, ποινικές και αστικές
μπρίν: τέλος, φόρος
μουλλάς: ανώτερος ιεροκριτής, αρχιδικαστής
μουχασίλ: κυρίως εισπράκτορας, νομάρχης, διοικητικός επίτροπος
μπάλλος: παλλούκι, σούβλα, πάσσαλος
νευγές: δοκοί
ορσελέτησεν: κακοποίησε, κατασυνέτριψε, έφθειρε
μπεράτια ή βεράτια: επίσημα έγγραφα, σουλτανική έγκριση εκλεγμένου ιεράρχη
πύρεξις: πυρετός
σαλγήνη: ετήσιος φόρος, κυρίως επί του εισοδήματος
τζουχατάρης: υπηρέτης των ανακτόρων για τις εξωτερικές υπηρεσίες, βοηθός γενικού διοικητή στην Υψηλή Πύλη
τρηζάρης: ταμιας
ττόπια: βολές τηλεβόλου, σφαίρες
τσεγκέλια: αγκύστρια
τιβάνιν: συμβούλιο
φερμάνι: διάταγμα κυρίως Αυτοκρατορικό, σουλτανικό
χαζνές: θησαυροφυλάκιο, ταμείο
χαβάς: αέρας, άνεμος

# ΚΑΤΑΔΙΚΗ



*Κώδικας Ιεράς Αρχιεπισκοπής Κύπρου, σ.* 96

'Ισον απαράλλακτον της από της μεγάλης εκκλησίας σταλθείσης καθαιρέσεως κατά των επιβατικώς γενομένων κακοϋποψηφίων της Κύπρου, εξ ών ο μέν ο της Μαχαιράδος ηγούμενος Ιωαννήκιος δια τον της αρχιεπισκοπής θρόνον διορισθείς, ο δε Ιωακείμ Παλλουριωτίσσης δια τον της Πάφου, ο δε Χρύσανθος του αγίου Λαζάρου δια τον του Κιτίων, ο δε έτερος Ιωαννήκιος, ο του αγίου Κυρηνείας έξαρχος δια τον της Κυρηνείας οίτινες καθαιρέσει παντελεί της ιεροσύνης αυτών καθυπεβλήθησαν:-

Γαβριή ελέω Θεού Αρχιεπίσκοπος Κων)πόλεως, Νέας Ρώμης, και οικουμενικός Πατριάρχης.

Μακαριώτατε Αρχιεπίσκοπε Νέας Ιουστινιανής, και πάσης Κύπρου και τη αγιοτάτη ταύτη αρχιεπισκοπή υποκείμενοι, ιερότατοι μητροπολίται, εν αγίω πνεύματι, αγαπητοί αδελφοί, και συλλειτουργοί, και εντιμότατοι κληρικοί, ευλαβέστατοι ιερείς, χρήσιμοι πρόκριτοι, προεστώτες, και γέροντες και λοιποί, απαξάπαντες ευλογημένοι χριστιανοί, των επαρχιών τούτων της νήσου ταύτης, τέκνα εν Κυρίω αγαπητέ χάρις είη υμίν, και ειρήνη παρά Θεού. 'Εθος αρχαίον και έργον, της καθ' ημάς του Χριστού μεγάλης εκκλησίας, το οικομενικόν αυτής αξιωμα, ενδεικνυμένην, αντιλαμβάνεσθαι μέν, προθύμως, προς τας χρείας των απανταχού εκκλησιών, των ευσεβών και ορθοδόξων χριστιανών εξομαλίζειν δε και διευθύνειν προς το δίκαιον είτοι κατά παρεκτροπήν των θείων και ιερών νόμων, και διεστραμμένως εύθυ γεγεννημένον και τους της τοιαύτης παρανόμου πράξεως εργάτας, και αυτουργούς τιμωρίαις και παιδείας ταις προσηκούσαις καθυποβάλλειν ώπερ και ήδη εκκλησιαστικώ έθει επόμενοι έγνωμεν κοινή και συνοδική διαγνώσει ομοψήφων γνώμη, και της υμίν μακαριότητος και ιερότητος καθαιρέσει παντελεί καθυποβαλείν της ιερωσύνης αυτών τους αυτόθι παρανόμως και αναιδώς της αρχιεροσύνης αντιποιησαμένους και τρόπω ανερυθριάστω προεκλελεγμένους ανθ' υμών, τον μεν κακοϊωαννήκιον εις Αρχιεπίσκοπον Κύπρου, τον δε κακοϊωακείμ εις Μητροπολίτην Πάφου, τον δε κακοχρύσανθον εις Μητροπολίτην Κιτίου, τον δε έτερον κακοϊωαννήκιον εις Μητροπολίτην Πάφου, τον δε κακοχρύσανθον εις Μητροπολίτην Κιτίου, τον δε έτερον κακοϊωαννήκιον εις Μητροπολίτην Κυρηνείας. Ει γαρ θείοι και ιεροί αρχαίοι και γεραροί της αγίας ημών ευσεβούς και ορθοδόξου εκκλησίας νόμοι τρείς και μόνους οίδασι τρόπους των κανονικών ψήφων και της αποκαταστάσεων των νέων διαδόχων αρχιερέων.

Των γαρ αρχιερατικών προϊσταμένων εν ηντινιούν επαρχία, ή των ζείν εκμετρησάντων, ή παραίτησιν οικειοθελή και αβίαστον ποιησαμένων, ή γουν καθαιρέσει

καθυποβληθέντων επί κανονικής εγκλήμασιν αποκαθίστανται εις διαδοχήν αυτών, άλλοι μετά της κανονικής παρατηρήσεως, ίνα μη τα λογικά του Χριστού ποίμνια, μένωσιν εστερημένα αρχιερατικής επισκέψεως, αλλ' οι ανωτέρω ονομαστί απαριθμημένοι διεστραμμένοι τε όντες και κακότροποι, μήτε θανάτου συμβάντος τοις προκατόχοις υμίν, μήτε παραιτήσεως, ή γουν καθαιρέσεων, προκειμένων, την αυτόθι συμβάσαν σύγχησιν και ταραχήν και κοινήν συμφοράν εις ιδίαν ωφέλειαν και ευτυχίαν ποιούμενοι οι ασυνείδητοι, και τον κοινόν όλεθρον οι παμβέβηλοι ίδιον κέρδος και ώσπερ εύρημα εαυτών ηγούμενοι, αυτοί εαυτούς τρόποις σατανικοις και ραδιουργίαις διάφοροις, διαδόχους απέδειξαν, τον τε θείον νόμον καταφρονούντες οι άνομοι, και αναισχύντως πάνυ ενσφραγίσειτε και υπογραφαίς υποψηφίους εαυτούς ρητώς υποσημειούμενοι και γράφοντες ούτως αναιδώς και προς ημάς και την περί ημάς ιεράν των αγίων αρχιερέων ομήγυριν, και οι της ιεροσύνης ανάξιοι, ως εκ των έργων εαυτούς απέδειξαν αρχιεροσύνης οι παμμίαροι αντεποιούντο θείον όντως και ιερόν αξίωμα τρόποις σατανικοίς και μιαροίς διώκοντες δια τα τοιαύτα ούν και τηλικαύτα αυτών παρανομήματα έγνωμεν κατά πάντας τους θείους και ιερούς νόμους καθαιρέσει παντελεί της ιεροσύνης αυτούς καθυποβαλείν. Διό και γράφοντες αποφαινόμεθα συνοδικώς μετά τον περί ημάς ιεροτάτων αρχιερέων και υπερτίμων των εν αγίω πνεύματι αγαπητών ημών αδελφών και συλλειτουργών, ίνα οι ανωτέρω απηριθμημένοι οι εκλελεγμένοι δήθεν, ο μεν κακοϊωαννήκιος εις Αρχιεπίσκοπον Κύπρου, ο δε κακοϊωακείμ εις μητροπολίτην Πάφου, ο δε κακοχρύσανθος εις μητροπολίτην Κιτίων, και ο έτερος κακοϊωαννήκιος εις μητροπολίτην Κυρηνείας. Και οι τέσαρες ούτοι η μιαρά τετρακύς ως διεστραμμένοι τε και κακότροποι φαυλόβιοι τε και καταφροντέ των θείων και ιερών νόμων, παμμίαροι τε και εναγείς και όλως ανάξιοι του ιερατεύειν Θεώ καθηρημένοι υπάρχωσι πάσης ιερατικής ενεργείας και τάξεως και έκπτωτοι του ιερατικού καταλόγου και απόβλητοι και γεγυμνωμένοι της θείας χάριτος, ως ιδιώται γνωριζόμενοι, και μηδείς τολμήση συμφορέσαι αυτοίς, ή συλλετουργήσαι, ή τας ανιέρους αυτών δεξιάς ασπάσασθαι, ή ως ιερωμένους τιμήσαι, ή εισόδημα εκκλησιαστικό, ή μοναστηριακόν αυτοίς παρασχείν. Ούτω γενέσθω, και μη άλλως εξ αποφάσεων.

αψπδ εν μηνί Ιουλίω Ινδικτιώνος Βας.

Ο Εφέσου Σαμουήλ, ο Ηρακλείας Μεθόδιος, ο Κυζίκου Αγάπιος, ο Νικομηδείας Γεράσιμος, ο Χαλκηδώνος Παρθένιος, ο Δέρκων Ανανίας, ο Σερρών Πανάρετος, ο Δράμας Γρηγόριος, ο Αγχιάλου Ιωακείμ, ο Ναυπλίου Μελέτιος

## ΑΘΩΩΣΗ



*Κώδικας Ιεράς Αρχιεπισκοπής Κύπρου*, σ. 98

Ίσον απαράλλακτον της Πατριαρχικής και αθοώσεως των δύο υποψηφίων Ιωαννικίου και Ιωακείμ Προκόπιος ελέω Θεού αρχιεπίσκοπος Κων)πόλεως Νέας Ρώμης και Οικουμενικός Πατριάρχης

Μακαριώτατε Αρχιεπίσκοπε Νέας Ιουστινιανής και πάσης Κύπρου και ιερώτατε Μητροπολίτα Πάφου εν αγίω πνεύματι αγαπητοί αδελφοί και συλλειτουργοί και εντιμότατοι κληρικοί, ευλαβέστατοι ιερείς χρήσιμοι πρόκριτοι και γέροντες και προεστώτες των δύο τούτων επαρχιών, χάρις είη ημίν και ειρήνη παρά Θεού.

'Ωσπερ επί των στόλων ο επί του μεγίστου των πλοίων στόλαρχος ου της ιδίας μόνης επιμελείται ευπλοίας και σωτηρίας αλλά και επί τα παραπλέοντα πλοιάριά τε και εφολκάδες διϊκνείται τη επιμελεία και βοηθεία ούτω γαρ εν και προς το του αξιώματος μέγεθος είη και το έργον αποτετελευκώς· Ωσαύτως και η καθ ημάς του Χριστού μεγάλη Εκκλησία ου μόνον των καθ εαυτήν φροντίζειν παροικιών αλλά και προς τα λοιπάς Πατριαρχικάς και Αρχιεπισκοπικάς παροικίας προχείρους πάνυ τας επικουρίας παρέχεται και αντιλήψεις είποτε τύχοιεν αυτοίς δεηθείσαι επειδή τοιγαρούν προ δύο ήδη χρόνων δια Πατριαρχικού και συνοδικού γράμματος καθαιρέσει παντελεί καθυπεβλήθησαν οι δύο αυτόθι ιερομόναχοι ότε Ιωαννήκιος και Ιωακείμ, ως παρά κανόνας και αυτοκεφάλως υποψηφίους εαυτούς αποδείξαντες, ο μεν της Αρχιεπισκοπής Κύπρου, ο δε της υπ' αυτή Μητροπόλεως Πάφου, ήδη δε ως έγνωμεν και εβεβαιώθημεν, από στόματος του ιερωτάτου Μητροπολίτου Κιτίων, ότι ο συναδελφού ημών αγαπητού και συλλειτουργού κυρ. Μελετίου μετάμελοι γενόμενοι επί τοις προτέροις εαυτών κακουργίμασι, και παρανομίμασι, και υποσχόμενοι διάγειν του λοιπού ησύχως και ευτάκτως προσέπεσον τω ελέει της Εκκλησίας και εδεήθησαν τυχείν αθοώσεως. Τούτου χάριν γράφοντες εν αγίω πνεύματι αποφαινόμεθα συνοδικώς μετά των περί ημάς ιερωτάτων Αρχιερέων και υπερτίμων, των εν αγίω Πνεύματι αγαπητών ημών αδελφών και συλλειτουργών, ίνα οι ρηθέντες δύο Ιερομόναχοι, ό τε Ιωαννήκιος και Ιωακείμ ως μεταμεληθέντες απ' εκείνοις τοις κακώς και παρανόμως προβεβιωμένοις και ως υποσχόμενοι, μηκέτι τοιαύτα τολμήσειν, αλλ' ευτάκτως ευπειθώς, και ειρηνικώς διάγειν τον βίον, αθώοι υπάρχωσι τοις λοιποίς ανεγκλητοίτε και πάντι ακαταιτίατοι, λελυμένοι τε και ελεύθεροι, της προεκδοθείσης κατ' αυτών καθαιρέσεως, και των εν εκείνη Εκκλησιαστικών δεσμών και επιτιμίων αμέτοχοι έχοντες και το ενεργείν της ιεροσύνης αυτών ακολύτως ως και πρότερον συμφορούμενοι, συλλειτουργούμενοι, και την χείρα ασπαζόμενοι, και πάντα τα ανήκοντα αυτοίς Εκκλησιαστικά εισοδήματα και δικαιώματα καρπούμενοι, μηδενός εναντιουμένου, ή αντιλέγοντος εξ αποφάσεως.

Αψπε· Εν μηνί Δεκεμβρ. Ινδικτιώνος Δης

Ο Εφέσου Σαμουήλ, ο Ηρακλείας Μεθόδιος, ο Κυζίκου Αγάπιος, ο Ννκομηδείας Γεράσιμος, Ο Δέρκων Ανανίας, ο Κρήτης Ζαχαρίας, ο Σερρών Ανανίας, ο Δράμας Γρηγόριος, ο Ναυπλίου Μελέτιος.